νίαν φυλάξοντα. Ὃν μὲν οὖν τῶν ἄλλων προκεκρίκασιν οὐ νῦν χαρακτηρίζειν βεβούλημαι, οὐ πάντη δὲ τούτους ἀποφανοῦμαι διημαρτηκέναι τοῦ ἀρίστου σκοποῦ, εἰ μὴ ὅσον τοιοῦτος ἐκεῖνος ἦν οὐχ οἷος ἄρχειν, ἀλλ' ἄρχεσθαι μᾶλλον καὶ ἄγεσθαι· ἦν δὲ καὶ τοῦ θέρους ἐγγὺς καὶ τοῦ τετραμήνου ἐντός· αἱ γὰρ τῆς κεφαλῆς αὐτοῦ τρίχες ὑπαργυρίζουσι ξύμπασαι. Τοῦτον γοῦν ἐκείνην πεπείκασιν ἀξιῶσαι τοῦ στέμματος· ἡ δὲ πείθεταί τε αὐτίκα, καὶ τὴν κεφαλὴν ταινιοῖ καὶ ἀναδείκνυσιν αὐτοκράτορα· εἶτα δή τινα βραχὺν ἐπιμείνασα χρόνον[1] τῷ κράτει, ἐνιαυσίου ὥρας δεούσης μιᾶς [ἐτελεύτησε], καὶ ὁ Μιχαὴλ τῶν ὅλων ἐγκρατὴς ἐγεγόνει, αὐτίκα[2] στερήσεσθαι, περὶ οὗ ἐρεῖν βουλόμενος βραχύ τι πρὸς καταστήσω τὸν λόγον.

---

# ΤΌΜΟΣ ἝΒΔΟΜΟΣ,

Ἀρχὴ δὲ τῆς βασιλείας Μιχαὴλ τοῦ Γέροντος· ὁ τοιοῦτος ἐκράτησεν ἔτος α'.

Δοκεῖ πως τοῖς ἄρτι βασιλεύειν λαχοῦσιν ἀρκεῖν εἰς ἕδραν τοῦ κράτους, ἢν[3] τὸ πολιτικὸν γένος τούτους κατευφημήσωσιν· ἀγχίθυροι γὰρ αὐτοῖς ὄντες οἴονται εἰ τὰ[4] παρὰ τούτων αὐτοῖς εὖ ἕξει, ἀρραγῶς κατησφαλῖσθαι τῷ κράτει· ἔνθεν τοι ἅμα τε τῶν σκήπτρων ἐπιλαμβάνωνται, καὶ τούτοις πρῶτον καὶ τὴν φωνὴν καὶ τὴν ὄψιν διδόασιν· ὧν εὐθὺς ἐπισκιρτησάντων καὶ βωμολόχους ἀφέντων φωνάς, καί τινες δημηγορίας φλυάρους πεποιηκότες, ὥσπερ θείαν ἐσχηκότες ἐπικουρίαν, οὐδὲ μιᾶς ἑτέρας δυνάμεως ἐπιδέονται· ἐν τρισὶ δὲ τούτοις τῆς φυλακῆς αὐτοῖς ἱσταμένης, δημοτικῷ πλήθει, καὶ συγκλητικῇ τάξει, καὶ συντάγματι στρατιωτικῷ, τῆς μὲν τρί-

1. γ. χρόνους. 2. προσθετέον [μέλλων]. 3. γ. ἦν. 4. γ. εἶτα.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ